Ὁ στρατηγὸς ὀφείλει μανθάνειν, τὸ πῶς κεῖται ἑκάστη χώρα τῶν πολεμίων παρὰ τῶν σκούλκων
καὶ προσφύγων, καὶ ὑπόθεσις περὶ τῶν ἐπιδρομῶν:—

Ὀφείλει ὁ ἀρχηγὸς τοῦ στρατοῦ, πρῶτον διὰ κατασκόπων καὶ διὰ δεσμίων καὶ προσφύγων ἐρωτῶν
καὶ μανθάνειν πῶς κεῖται μία ἑκάστη χώρα τῶν πολεμίων καὶ ποῖα εἰσὶ τὰ χωρία αὐτῆς καὶ κά-
στρα. καὶ πόση καὶ ποταπή ἐστιν ἡ δύναμις τῶν πολεμιστῶν αὐτῆς. καὶ ὅταν πάντα μάθῃ καλῶς
ἁρμόζει ἵνα σκοπῇ καὶ τοὺς καιρούς. καὶ πρὸς τοὺς καιρούς. καὶ τῷ εὐθείας θέσεις τῶν χωρῶν, ἵνα
ποιῇ καὶ αὐτὸς τὰς ἐπιδρομὰς καὶ τὰ κοῦρσα. καὶ εἰς μὲν τοὺς θερμοὺς τόπους καὶ ἔχοντας καλύμ-
ματα, ἵνα ἀπέρχηται πρὸς τὸν χειμῶνα καὶ τὸ φθινόπωρον καὶ τὸ ἔαρ. ὅτι ἄρα οὐ καταβαίνουσι
ποταμοί. καὶ οὐ ποιοῦσι πλημμύρας ὑδάτων εἰς τὰς τοιαύτας χώρας. εἰς δὲ τοὺς ψυχροὺς πά-
λιν καὶ τοὺς εὐκράτους τόπους, ἵνα ἀπέρχηται πρὸς τὸ ἔαρ καὶ τὸ θέρος καὶ τὸ φθινόπωρον. τοῦτο δὲ
ὀφείλει προσπαθῶν ἀσφαλίζεσθαι, τὸ μή, πρός τινα τῶν πάντων, μὴ δὲ ἐξ αὐτῶν τῶν
μυστικωτάτων αὐτοῦ, εἰπεῖν τὴν βουλήν. ἢ πρὸς ποίαν χώραν μέλλει ποιῆσαι τὴν ἐπιδρο-
μὴν τῆς ὁδοιπορίας, ἵνα ποιῇ ὡς πρὸς ἐκείνην τὴν χώραν τοῦ διαφημισθῆναι παρ' αὐ-
τοῦ. τὴν δὲ οἰκείαν βουλὴν ἵνα κρύπτῃ. καὶ ὅταν. ἴδῃ ὅλους ἀμεριμνήσαντας, ἵνα ἑτοιμάσῃ
πάντα καλῶς. καὶ τότε ἐξαίφνης ἵνα ἀπέλθῃ μετὰ σπουδῆς εἰς ἐκείνην τὴν χώραν εἰς ἣν
ἔχει βουλὴν ἀπελθεῖν. καὶ τὸ πεζικὸν ὅλον μετὰ τοῦ πεζικοῦ τοῦλδου, ἵνα ἀφήσῃ περιπατεῖν
ὄπισθεν αὐτοῦ μετὰ τάξεως. καὶ ἵνα μὴ καταλίπῃ καβαλλαρίους πρὸς φύλαξιν τῶν πεζῶν.
πλὴν τοὺς καταφράκτους καὶ μόνους. διαλαλησάτω καὶ τοὺς ...... ἵνα εἷς ἕκαστος ἀφορίσῃ
ἐκ τῶν φυλῶν αὐτοῦ, ἄνδρας ἑκατόν, ἢ ἑκατὸν πεντήκοντα. καὶ ποιήσει αὐτοὺς καβαλλα-
ρίους πρὸς τὸ συνακολουθεῖν τῷ καβαλλαρικῷ στρατῷ ἵνα μετὰ τῆς βοηθείας τοῦ θεοῦ ἂν κρα-
τήσωσι αἰχμαλωσίαν καὶ πραῖδαν. γένωνται κοινωνοὶ εἰς τὸ κέρδος διὰ τῶν τοιούτων ψιλῶν
καὶ οἱ πεζοί. ὁμοίως ἵνα φοριαθῶσι καὶ ἐκ τῶν καταφράκτων, πεντήκοντα ἢ τεσσαράκοντα.
καὶ ἀφήσουσιν εἰς τὸ τοῦλδον τοὺς καταφράκτους αὐτῶν καὶ τῶν ἱππαρίων αὐτῶν. καὶ ἀπέλθωσι
μετὰ τῶν λοιπῶν κουρσατόρων. ὅταν δὲ πλησιάσῃ ὁ στρατὸς εἰς τὴν χώραν τῶν ἐχθρῶν,
εἰς ἣν καὶ ἀπέρχεται. ὀφείλει προσπαθῶν σπουδὴ καὶ ἐπιμέλεια γίνεσθαι παρὰ τοῦ στρατη-
γοῦ τοὺς κυβερνῶντας τὸν στρατόν, ἤγουν παρὰ τοὺς δεκάτορας πρὸς τὸ ἀποστεῖλαι καὶ κρατῆ-
σαι γλῶσσαν καὶ δι' αὐτῆς μαθεῖν βεβαίως περὶ τῆς χώρας. αἱ γὰρ ἐπιδρομαὶ αἱ γινόμε-
ναι ἀπροσδοκήτως εἰς τὴν πολεμίαν γῆν, πολλοὺς κινδύνους πολλάκις ποιοῦσιν εἰς τὸν στρα-
τόν. πολλάκις γὰρ πρὸ μιᾶς ἡμέρας ἢ καὶ πρὸ δύο τῆς ἐξελάσεως τοῦ κούρσου, ἔρχεται ποθὲν
ἐπιβουλὴ λαοῦ εἰς τοὺς ἐχθροὺς καὶ οἱ καταφράκτοι καὶ οἱ προσφεύγοντες ἀπὸ τῶν ἐχθρῶν. καὶ
οἱ κρατευθέντες δέσμιοι ἐξερχόμενοι ἐκεῖθεν πρὸ ἑβδομάδος ἢ καὶ πρὸ τεσσάρων καὶ τριῶν
ἡμερῶν, ἀγνοοῦσι τὰ γενόμενα ἐκεῖ πρὸ μιᾶς ἡμέρας ἢ καὶ πρὸ δύο. διὰ τοῦτο ἐξ ἀνάγκης
ἐστὶ τὸ κρατεῖν γλώσσας καὶ δι' αὐτῶν μανθάνειν τὰ περὶ τῆς χώρας τῶν πολεμίων. ἵνα ἐξ αὐ-
τῶν, πληροφορῆται ὁ λαός, εἴτε ἦλθόν τινες πρὸς βοήθειαν τῆς χώρας, εἴτε μή. καὶ κουρσεύ-
σωσι μετὰ θάρρους καὶ ἀφανίσωσι τὰ χωρία. καὶ τὰς πολιτείας τῶν πολεμίων, ὅταν δὲ μέλλῃς
ἀρχηγὲ τοῦ στρατοῦ ἀπολῦσαι τὸ σκόρπισμα τοῦ κούρσου, χώρισον τοὺς στρατηγοὺς καὶ τοὺς ἄρχοντας
αὐτῶν εἰς μερίδια. καὶ τοὺς μὲν ἐκ τοῦ δεξιοῦ μέρους, τοὺς δὲ ἐκ τοῦ ἀριστεροῦ, πρόσταξον ἵνα
ὦσιν πρὸς φύλαξιν τοῦ κούρσου. οἱ δὲ λοιποὶ ὀφείλουσιν εἶναι ἔμπροσθεν. καὶ φυλάττειν
τοὺς ἔμπροσθεν ὄντας ἐκ τοῦ κούρσου. σὺ δὲ ὀφείλεις μετὰ παντὸς τοῦ ὑπὸ σὲ λαοῦ τὴν μέσην
ὁδὸν τοῦ κούρσου κρατεῖν. καὶ φυλάττειν ἀμφότερα τὰ μέρη. καὶ εἰς ὅσον γένηται ἡ φωνή,
ἵνα ὑπάγῃς ἐκεῖ καὶ παρέχῃς βοήθειαν. παράγγελλον δὲ καὶ τοῖς στρατηγοῖς καὶ τοῖς ὑπο-
χειρίοις αὐτῶν ἄρχουσι καὶ τοῖς λοιποῖς πολεμισταῖς, εἶναι μετὰ σοῦ ἐν τάξει φύλακος, πρὸς
τὸ φυλάσσειν τὸν λαὸν εἰς τὸ σκόρπισμα τοῦ κούρσου. ὅταν δὲ ἀποσωρευθῇ καλῶς τὸ
κοῦρσον. καὶ πληροφορηθῇς ἐκ τῶν κρατηθέντων δεσμίων καὶ αἰχμαλώτων ὅτι οὐκ ἔστι
φόρεμα τοῦ κούρσου ποίησον ἐκεῖ μίαν ἡμέραν εἰ ἔστι δυνατὸν καὶ δύο. καὶ ἀνάπαυσον τὸν
στρατὸν καὶ τὰ ἄλογα. εἶτα ὑπόστρεψον μετὰ τάξεως. καὶ ἐν ᾧ θέλεις τῷ φουσάτῳ σου. ἀφ' οὗ δὲ
ἑνωθῇς αὐτοῖς καὶ γένηται βουλὴ ἤτε πρὸς τὰς χώρας τῶν ἐχθρῶν πάλιν ἵνα ὑποστρέψῃ ὁ
στρατός, εἴτε πρὸς τὸ κάστρον τοῦ πολεμῆσαι αὐτό. ἁρμόζει διὰ τάχους πολλοῦ ποιῆσαι
τὸ βουλευθὲν καὶ μὴ χρονίζειν εἰς τὸν τόπον. εἰ δὲ οὐκ ἔστι χρεία ἵνα ἀπέλθωσιν εἰς κα-
στροπόλεμον ἢ ποιῆσαι πραῖδας καὶ κοῦρσα εἰς τὰς ἄλλας χώρας, ὑπόστρεψον τότε πρὸς
τὴν ἡμετέραν γῆν. πλὴν ἀφ' ἧς κατασκοπεύσῃς εἰς τὴν πολεμίαν γῆν πρὸς τὸ κατασκο-